www.e-rara.ch

# Thēsauros. Keraz amaldeiaz, kai kēpoi adōnidos

**Bolzanio, Urbano**

**Venetiis, [Aug. 1496]**

**Universitätsbibliothek Basel**

Persistent Link: https://doi.org/10.3931/e-rara-152037

Choiroboskoy Prostoys En Pazitois Rēmasikanonas Zētoyntas Kai Omoiotētas

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d’imprimés conservés dans les bibliothèques de Suisse. L’éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l’imprimerie jusqu’au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

# ΧΟΙΡΟΒΟΣΚΟΥ ΠΡΟΣ ΤΟΥΣ ΕΝ ΠΑΣΙ ΤΟΙΣ ΡΗΜΑΣΙ ΚΑΝΟΝΑΣ ΖΗΤΟΥΝΤΑΣ ΚΑΙ ΟΜΟΙΟΤΗΤΑΣ.

ὁ Υ ΧΡΗ ζητεῖν ἐν πᾶσι τοῖς ῥήμασιν ὁμοιότητας ἀστασιάστους καὶ κανόνας ἀσφαλεῖς, καὶ τύπους ἀκριβεῖς· πρότερον μὲν γὰρ εὕρηνται τῶν ἀνθρώποις αἱ λέξεις, διὰ τὴν ἀνάγκην τῆς πρὸς ἀλλήλους ὁμιλίας· ὕστερον δὲ ἐπιγινομένη ἡ τέχνη, τὰ μὲν, ἠδυνήθη ῥυθμίσαι, καὶ εἰς εἰκόνα τινὰ ἀναγαγεῖν· τὰ δὲ, μὴ δυνηθεῖσα, εἴασεν ἐφ᾽ ἧς εἶχον συνηθείας. ἔστιν ὁρᾶν ἐκ τῶν καθέκαστα τινά.

Ὁ μὲν κανὼν ἀπαγορεύει μὴ ἔχειν τὸν δεύτερον ἀόριστον τὸ σύμφωνον τῆς ληγούσης τοῦ πρώτου ἀορίστου· μόνου δὲ τοῦ μέσου παρακειμένου· οἷον τέτυπα ἔτυπον· ἀλλὰ τὸ ἔπεσον παρέβη τὸν κανόνα.

Πάλιν ὁ κανὼν φησὶν ὅτι τῶν δισυλλάβων μελλόντων τῶν τῷ ε παραληγομένων, μόνος ὁ μέσος παρακείμενος ἔχει ἐπ᾽ ἀδείας τρέπειν τὸ ε εἰς ο, τὸ τῆς παραληγούσης αὐτοῦ· οἷον πλέξω πέπλοκα· ἀλλὰ τὸ πέπομφα καὶ κέκλοφα καὶ ἀνατέτροφα, ἐκ τοῦ ἀνατρέπω παρακείμενος ὢν καὶ οὐ μέσος, παρέβη τὸν κανόνα.

Ἔτι φησὶν ὁ κανών· ὡς εἰ περισπᾶται ὁ μέλλων· τὴν παραλήγουσαν ἐκτείνει ὁ ἀόριστος μόνος· οἷον ψάλλω, ψαλῶ ἔψηλα· ὁμοίως καὶ ἔφηνα καὶ ἧρα· καὶ ἕτερα μυρία· ἀλλ᾽ ἔστιν ὅτι καὶ ἐπὶ τοῦ παρακειμένου διϊκνεῖται τοῦτο· ὡς τὸ πέφηνα· καὶ μέμηνα· καὶ μέμηλα· καὶ τέθηλα.

Πάλιν τὰ ἀττικά φησι τὰ ἀπὸ βραχέος ἀρχόμενα ἐν τῷ παρακειμένῳ χρονικῶς μεγεθύνονται ἐν τῷ ὑπερσυντελικῷ· οἷον ὀρώρυχα· ὠρωρύχειν· ἀκήκοα ἠκηκόειν· ἀλλὰ τὸ ἐλήλυθα, ἐληλύθειν καὶ ἔοικα ἐῴκειν, παρέβη τὸν κανόνα.

Ἔτι μὴν οἱ ἀόριστοι ὀφείλουσιν ἀποβάλλειν ἐπὶ τῆς μετοχῆς τὴν ἀρχουσαν αὔξησιν αὐτῶν· οἷον ἦλθον ἐλθών· εἶδον, ἰδών· ἀλλὰ τὸ εἶπον, εἰπών· καὶ ἧκον ἥκων, οὐκ ἀποβάλλει αὐτήν.

Ἔτι ἡ κοινὴ διάλεκτος ἐπὶ τῆς πέμπτης συζυγίας τῶν βαρυτόνων μόνης, ὀφείλει περισπᾶν τοὺς μέλλοντας· οἷον, ψάλλω, ψαλῶ· σπείρω, σπερῶ· ἀλλ' ἔστιν ὅτε ὑπερβᾶσα καὶ τὴν μίμησιν τῶν δωριέων περισπᾷ καὶ ἑτέρων συζυγιῶν μέλλοντας· πεσῶ γὰρ καὶ πεσοῦμαι· καὶ ἐσῶ καὶ ἐσοῦμαι· καὶ βαδιῶ καὶ βαδιοῦμαι· καὶ ἀγωνιοῦμαι καὶ ἕτερα· οὐ μόνον δὲ ἐπὶ μελλόντων ποιεῖ τὴν καινοτομίαν, ἀλλ' ἤδη καὶ ἐπὶ ἐνεστώτων· οἷον· μαχοῦμαι· ὀμοῦμαι· καθεδοῦμαι· καὶ ἕτερα· ἃ ἐνεστῶτες ὄντες, μελλόντος ἔχουσι σημασίαν.

Ἔτι φησὶν ὁ κανών· ὡς ἐφ' ὧν ῥημάτων ὁ ἐνεργητικὸς ἐνεστὼς ἐνέργειαν σημαίνει μεταβατικήν, ἐπὶ τούτων ἀκολούθως καὶ ὁ ἐνεργητικὸς παρακείμενος, καὶ ὁ πρῶτος καὶ δεύτερος ἀόριστος ἐνέργειαν σημαίνουσι μεταβατικήν· οἷον τύπτω τέτυφα· ἔτυψα ἔτυπον· ἐφ' ὧν δὲ ὁ ἐνεργητικὸς ἐνεστὼς ἀμετάβατον ἔχει τὴν σημασίαν, ἐπὶ τούτων καὶ ὁ ἐνεργητικὸς παρακείμενος καὶ ὁ ἀόριστος ὁμοίως ἀμετάβατον αὐτὴν ἔχει· οἷον δύει ὁ ἥλιος ἐπὶ ἐνεστῶτος· δέδυκεν ἐπὶ παρακειμένου· καὶ ἔδυ ἐπὶ δευτέρου ἀορίστου· ἀλλὰ τὸ ἤριπεν ἀντὶ τοῦ ἔπεσε καὶ ἐρειπὼν ἀντὶ τοῦ πεσὼν παρὰ τῷ ὁμήρῳ πολλάκις λεγόμενον, παρέβη τὸν κανόνα· ἀμετάβατον γὰρ ἔχει τὴν σημασίαν γεγονὸς ἐκ τοῦ ἐρείπω τὸ καταβάλλω ἐνεστῶτος, ἐνεργητικὴν ἔχοντος σημασίαν καὶ μεταβατικήν.

Εἰ δέ τις ἐνίσταται διπλῆν ἔχειν λέγων τοῦτο τὴν σημασίαν, μεταβατικήν φημι καὶ ἀμετάβατον ἐπὶ τοῦ ἐνεστῶτος, τὸ ἐρείπω ἀντὶ τοῦ πίπτω δηλαδὴ καὶ ἀντὶ τοῦ καταβάλλω οὐδ' ἂν ἔχοι· καὶ οὐκ ἂν εἴη τοῦτο καινόν.

Ἐπεὶ καὶ ἕτερα πολλὰ τοιαῦτα εὑρίσκομεν· ἰδοὺ γὰρ τὸ ἕπω, ἄχρηστον μὲν ὄν, σημαίνει ὅμως τὸ λέγω καὶ τὸ ἀκολουθῶ· καὶ ἀπὸ μὲν τοῦ ἑνὸς γίνεται, τὸ εἶπον ἀντὶ ἔλεξα· ἐκ δὲ τοῦ ἑτέρου, τὸ ἕπομαι· καὶ τὸ μέθεπε· καὶ ἔφεπε κλονέων παρὰ τῷ ποιητῇ.

Ὁμοίως καὶ τὸ τεύχω ἄχρηστον ὄν, σημαίνει δὲ ὅμως τό, τε κατασκευ-

ἄζω, ἤγουν τὸ ἐπιτυγχάνω· ἔτι ἀπὸ μὲν τοῦ ἑνὸς λέγεται, τεύχεα· καὶ τυκτόν· ἔτι εὔτυκτον παρὰ τῷ ποιητῇ· ἐκ δὲ τοῦ ἑτέρου γίνεται τὸ ἔτυχον· ἔτι πόθου τετευχώς φησιν ὁ μελῳδός, καὶ θείας παρουσίας ἀντὶ τοῦ τετυχηκώς. Καὶ πῶς ἄν τις ἐξαριθμήσαιτο τῆς τέχνης τὸ ὑπερεκπῖπτόν τε καὶ ἄστατον· ἔοικε γὰρ δόγμα ὂν καὶ αὐτὴ ἀεὶ νῦν φθορᾷ ὑποκεῖσθαι ἤγουν αὕτη καὶ μεταβολῇ καὶ τροπῇ· οἷα δὴ ἤγουν τὰ ἄλλα τῶν ὄντων πράγματα. εὕροι γὰρ ἄν τις σκοπῶν λέξεις πλείστας αἷς ἄλλως μὲν οἱ πάλαι ἐχρῶντο αὐτοί, ἄλλως δὲ οἱ νῦν· καὶ αἱ τοῖς πάλαι οὖσαι ἐν χρήσει, παρεωράθησαν καὶ ἀπερρίφθησαν ὕστερον· ἰδοὺ γὰρ τὸ τύραννος βασιλικὸν ὂν ὄνομα πρότερον, βλασφημεῖται νῦν· καὶ τό, χυδαῖοι οἱ περιπληθυσμένοι, ἀπὸ τοῦ χύδην λεγόμενον, νῦν ἐπὶ ὀνειδισμοῦ λαμβάνεται. ἔτι τὸ πανοῦργος ἐπὶ φρονίμων λαμβανόμενον πρότερον βλασφημεῖται νῦν· καὶ τὸ ἐξαίσιον καὶ ἔκδικον, τὸ ἔξω τοῦ αἰσίου καὶ τοῦ δικαίου ἐλέγετο· νῦν δὲ ἐπὶ καλοῦ λαμβάνεται· καὶ τὸ ἀνόσιος, πάλαι μέν, τὸν ἄταφον ἐδήλου, νῦν δὲ τὸν ἀσεβῆ· καὶ τὸ καθωσιωμένος, πάλαι μὲν τὸν ὅσιον ἐδήλου, νῦν δὲ τὸν ἀφιερωμένον· καὶ τὸ κάθαρμα ἀπὸ τοῦ καθαίρω. ἔτι τὸ ἄγος. ἔτι τὸ ἐναγὴς ἀπὸ τοῦ ἄζω τὸ σέβομαι γινόμενα, πάλαι μὲν ἐπὶ ἐπαίνου ἐλαμβάνοντο· νῦν δὲ ἐπὶ ψόγου· τὸ δὲ παναγής, ἐπὶ ἐπαίνου μόνον ἀπὸ τοῦ αὐτοῦ παραγόμενον. ἔτι μυρία ἕτερα εὕροι τις ἂν τοιαῦτα ἐξετάζων· ἃ χρὴ κατὰ τὸν προσήκοντα λόγον ἑκάστῳ ἀνάγειν ὡς εἰς λιμένα τινά, εἰς τοὺς προσήκοντας ἐκ τῶν τεσσάρων τῆς ὀρθογραφίας κανόνων· ἀναλογίαν φημὶ διάλεκτον· ἐτυμολογίαν καὶ ἱστορίαν.

:~ΤΕΛΟΣ:~